λόγον μηδένα ἔχων περὶ ἑκάστης ἀρετῆς, οἷόν τέ ἐστι τῷ ἄνω, καὶ ὅτι, καὶ ὅπως ἀγαθόν. λόγον δὲ ἐπιστήμης μεταλαχών, τελειότερος ἂν πάντως ἔσται. μελέτην τε καὶ ἄσκησιν προσλαβών, καὶ τὸ ἀπὸ τοῦ ἔθους ἡδύ, τῷ ἀρίστῳ ἐγκαταμίξας, τὸν βίον ἥδιστόν τε καὶ ἄριστον καὶ μακάριον ἀποφῆναι. ὅμως μέντοι παντὶ τρόπῳ φευκτέον μὲν κακίαν. ἐπιτηδευτέον δὲ ἀρετήν, ἵνα δὴ ἀντὶ ἀθλιωτέρων εὐδαιμονέστεροι καὶ μακάριοι ἔν τε τῷ παρόντι βίῳ κατὰ δύναμιν γενοίμεθα, καὶ ἐπειδὰν τελευτήσωμεν, τὴν τοῖς νῦν βεβιωμένοις πρέπουσάν τε καὶ ἁρμόττουσαν ἀπολαβόντες χάριν, πολὺ ἔτι δὴ μᾶλλον εὐπράξωμεν:.

## Διαίρεσις τῶν ἀρετῶν.

Τῶν ἀρετῶν, γενικαὶ μὲν φρόνησις, δικαιοσύνη, ἀνδρία, σωφροσύνη. εἰδικαὶ δὲ τῇ μὲν φρονήσει ὑποδιαιρούμεναι, θεοσέβεια, φυσική, εὐβουλία. τῇ δὲ δικαιοσύνῃ, ὁσιότης, πολιτεία, χρηστότης. τῇ δὲ ἀνδρία, εὐψυχία, γενναιότης, πραότης. τῇ δὲ σωφροσύνῃ, μετριότης, ἐλευθεριότης, κοσμιότης. καὶ θεοσέβεια μέν, περὶ τὰ θεῖα. φυσικὴ δέ, περὶ τὰ φυσικά. εὐβουλία δέ, περὶ τὰ ἀνθρώπινα. καὶ ὁσιότης μέν, ἐν τοῖς πρὸς θεόν. πολιτεία δέ, ἐν τοῖς πρὸς τὰ κοινά. χρηστότης δέ, ἐν τοῖς πρὸς τὰ ἰδιωτικά. καὶ εὐψυχία μέν, ἐν τοῖς ἀκουσίοις. γενναιότης δέ, ἐν αἱρετοῖς. πραότης δέ, ἐν τοῖς πρὸς ἀνθ. καὶ μετριότης μέν, περὶ δόξαν. ἐλευθεριότης δέ, περὶ χρήματα. κοσμιότης δέ, περὶ ἡδονάς:.

Τάξις ἀρετῶν, καθ᾽ ἣν δεῖ μετέρχεσθαι ταύτας. α. κοσμιότης. β. γενναιότης. γ. εὐψυχία. δ. μετριότης. ε. ἐλευθεριότης. ς. πραότης. ζ. χρηστότης. η. εὐβουλία. θ. φυσική. ι. πολιτεία. ια. ὁσιότης. ιβ. θεοσέβεια:.

Ὅρα καὶ τὸ διάγραμμα.

